τῶν κοινῶν διαφερόντων ζήτησιν ἔσχομεν· ταῦτα μεταξὺ τῶν λοιπῶν ἅτινα
ἐδόκει ἐν πολλοῖς ἅπασιν ἐπωφελῆ εἶναι, μᾶλλον δὲ ἐν πρώτοις διατάξ
ἐδογματίσαμεν· οἷς ἡ πρὸς τὸ θεῖον αἰδώς τε καὶ τὸ σέβας ἐνείχετο· τοῦ
τέστιν ὅπως δῶμεν καὶ τοῖς χριστιανοῖς καὶ πᾶσιν ἐλευθέραν αἵρεσιν τοῦ ἀ
κολουθεῖν τῇ θρησκείᾳ ᾗ δ' ἂν βουληθῶσιν· ὅπως ὅ τί ποτέ ἐστι θειό
τητος καὶ οὐρανίου πράγματος, ἡμῖν καὶ πᾶσι τοῖς ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν
διάγουσιν εὐμενὲς εἶναι δυνηθῇ· τοίνυν ταύτην τὴν βούλησιν τὴν ἡμετέρ
ὑγιεινῷ καὶ ὀρθοτάτῳ λογισμῷ ἐδογματίσαμεν· ὅπως μηδενὶ παν
τελῶς ἐξουσία ἀρνητέα ᾖ, τοῦ ἀκολουθεῖν καὶ αἱρεῖσθαι τὴν τῶν χριστιανῶν παρα
φύλαξιν ἢ θρησκείαν· ἑκάστῳ τε ἐξουσία δοθείη τοῦ διδόναι ἑαυτοῦ τὴν
διάνοιαν ἐν ἐκείνῃ τῇ θρησκείᾳ ἣν αὐτὸς ἑαυτῷ ἁρμόζειν νομίζει·
ὅπως ἡμῖν δυνηθῇ τὸ θεῖον ἐν πᾶσι τὴν ἔθιμον σπουδὴν καὶ καλοκαγα
θίαν παρέχειν· ἅτινα οὕτως ἀρέσκειν ἡμῖν ἀντιγράψαι ἀκόλουθον ἦν·
ἵνα ἀφαιρεθεισῶν παντελῶς τῶν αἱρέσεων αἵτινες τοῖς προτέροις ἡμῶν
γράμμασι τοῖς πρὸς τὴν σὴν καθοσίωσιν ἀποσταλεῖσι περὶ τῶν χριστια
νῶν ἐνείχοντο· καὶ ἅτινα πάνυ σκαιὰ καὶ τῆς ἡμετέρας πραό
τητος ἀλλότρια εἶναι ἐδόκει· ταῦτα ὑφαιρεθῇ καὶ νῦν ἐλευθέρως
τε καὶ ἁπλῶς ἕκαστος τῶν τὴν αὐτὴν προαίρεσιν ἐσχηκότων τοῦ φυλάττειν τὴν
τῶν χριστιανῶν θρησκείαν ἄνευ τινὸς ὀχλήσεως τοῦτο αὐτὸ παραφυ
λάττει· ἅτινα τῇ σῇ ἐπιμελείᾳ πληρέστατα δηλῶσαι ἐδογματίσαμεν·
ὅπως εἰδείης ἡμᾶς ἐλευθέραν καὶ ἀπολελυμένην ἐξουσίαν τοῦ τημελεῖν
τὴν ἑαυτῶν θρησκείαν τοῖς αὐτοῖς χριστιανοῖς δεδωκέναι· ὅπερ ἐπειδὴ
ἀπολελυμένως αὐτοῖς ὑφ' ἡμῶν δεδωρῆσθαι ἐξουσίαν τοῖς βουλο
μένοις μετέρχεσθαι τὴν παρατήρησιν καὶ θρησκείαν ἑαυτῶν· ὅπερ ἀκολου
θως τῇ ἡσυχίᾳ τῶν ἡμετέρων καιρῶν τυγχάνειν φανερόν ἐστιν· ὅπως ἐξουσί
ἕκαστος ἔχει τοῦ αἱρεῖσθαι καὶ τημελεῖν ὁποίαν δ' ἂν βούληται θρησκείαν· τοῦτο
δὲ ὑφ' ἡμῶν γέγονεν· ὅπως μηδεμιᾷ τιμῇ μηδὲ θρησκείᾳ τινὶ μεμει
ῶσθαί τι ὑφ' ἡμῶν δοκοίη· αὶ τοῦτο δὲ πρὸς τοῖς λοιποῖς εἰς τὸ πρό
σωπον τῶν χριστιανῶν δογματίζομεν· ἵνα τοὺς τόπους αὐτῶν εἰς
οὓς τὸ πρότερον συνέρχεσθαι ἔθος ἦν αὐτοῖς· περὶ ὧν καὶ τοῖς πρό
τερον δοθεῖσι πρὸς τὴν σὴν καθοσίωσιν γράμμασι τύπος ἕτερος ἦν ὡ
ρισμένος τῷ προτέρῳ χρόνῳ· εἴ τινες ἢ παρὰ τοῦ ταμείου τοῦ ἡμετέρου ἢ
παρά τινος ἑτέρου φαίνοιντο ἠγορακότες, τούτους τοῖς αὐτοῖς χριστιανοῖς
ἀναργυρὶ καὶ ἄνευ τινὸς ἀπαιτήσεως, τῆς τιμῆς ὑπερτεθείσης, δίχα πάσ